# TEZAUR LITURGIC

## 25 IULIE
## EUPRAXIA DOKOUS

# PARACLISUL SF.CUVIOASE EUPRAXIA DE LA THEBAIDA

ATENA,2020

www.tezaurliturgic.ro



# 25 ΙΟΥΛΙΟΣ
# ΕΥΠΡΑΞΙΑ ΟΣΙΑ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Ἡγουμένης Εὐπραξίας Δοκοῦ**

Ὁ Ἱερεύς ἄρχεται τῆς Παρακλήσεως μέ τήν δοξολογικήν ἐκφώνησιν:

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ἤ μή ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

Ψαλμός ρμβ’ (142).

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

Θεός Κύριος καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α’. Ἐξολολογεῖσθε τῷ Κυρίῳ καί ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.

Στίχ. β’. Πάντα τά ἔθνη ἐκύκλωσάν με καί τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ’. Παρά Κυρίου ἐγένετο αὕτη καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Σοῦ τῷ σεπτῷ καὶ ἁγίῳ τεμένει, συναθροισθέντες οἱ πιστοὶ ὁμοφρόνως, ἐκλιπαροῦμεν πόθῳ σε σεμνή, ῥῦσαι τῆς κολάσεως, καὶ παθῶν τοὺς σοὺς δούλους, ὅπως μεγαλύνωμεν, τοὺς σεπτούς σου ἀγῶνας, οὓς ὑπὲρ Κυρίου ἦρας καρτερῶς, μῆτερ Ὁσία, Εὐπραξία ἀοίδιμε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τᾶς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κίνδυνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

*Εἶτα, ὁ Κανὼν τῆς Ὁσίας.*
*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Τριάδι προσπίπτω παντουργικῇ, πειρασμοῖς ποικίλοις συνεχόμενος καὶ δεινοῖς, πρεσβείαις Θεέ μου Εὐπραξίας, δός μοι ταχὺ τούτων τὴν λύτρωσιν.

Νέμεις τὰς πλουσίας σου δωρεάς, χάριν Εὐπραξία εἰλυφυῖα παρὰ Θεοῦ, τοῖς πιστοῖς καὶ τούτους ἐκ κινδύνων, τῶν πολυτρόπων ταχέως ἐλαύνουσα.

Τῷ θείῳ ναῷ σου μῆτερ σεμνή, νυνὶ συνελθόντες συνεχόμενοι τοῖς δεινοῖς, βοῶμέν σοι ἀπαύστως Εὐπραξία, πάντας ἡμᾶς τούτων λύτρωσιν δώρησαι.

*Θεοτοκίον.*

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς Σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψίδος*

Ὡς ἀείφωτος λύχνος ἐν ἀρεταῖς ἔλλαμψας, καὶ τὰς τῶν πιστῶν διανοίας σὺ κατεφώτισας, ὅθεν ἐν ᾄσμασιν, σὲ Εὐπραξία ὑμεῖς συνελθόντες, ἅπαντας μακαρίζομεν.

Ὡς πολλὴν παῤῥησίαν πρὸς τὸν Χριστὸν ἔχουσα, ὑπὲρ σωτηρίας τῶν ψυχῶν ἡμῶν καθικέτευε, ὅπως χαρᾷ ἡμεῖς, εὐχαριστήριον ὕμνον, μῆτέρ σοι προσφέρομεν, παθῶν λυτρούμενοι.

Νικητὴς ἀνεδείχθης κατὰ παθῶν ἔνδοξε, καὶ τοῦ διαβόλου μανίαν πᾶσαν ἐτρόπωσας, ἀλλὰ προφθάσασα, καὶ τοὺς τιμῶντάς σε πόθῳ, Εὐπραξία λύτρωσαι, τούτου κακώσεως.

*Θεοτοκίον.*

Προστασίαν καὶ σκέπην ζωῆς ἐμῆς τίθημι, Σὲ θεογεννῆτορ Παρθένε Σύ με κυβέρνησον, πρὸς τὸν λιμένα Σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἐκ θλίψεως, καὶ ἐκ κίνδυνων λύτρωσαι Εὐπραξία, τοὺς τὴν θείαν σου προστασίαν αἰτοῦντας, ὡς ἔχουσα τὴν πρὸς Θεὸν παῤῥησίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσις, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὑψωθεὶς ἀπονοίᾳ μου, ὀλισθήσας πάθεσι κατενήνεγμι, ἔγειρόν με κατακείμενον, ἐν βυθῷ Ὁσία ἀπογνώσεως.

Ῥυπαρὸς ὢν καὶ ἄσωτος, ψυχικοῦ ταράχου Ἁγία πέπλησμαι, αὐτὴν ζάλην καὶ κίνδυνον, καὶ τὴν ἀθυμίαν ἀποδίωξον.

Σὲ Ὁσία κεκτήμεθα, ἀσφαλῆ φρουρόν τε ἐν περιστάσεσιν, πρόστηθι ἡμῶν καὶ μὴ παρίδης δε, Εὐπραξία ἐν ἡμέρᾳ θλίψεως.

*Θεοτοκίον.*

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν Κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Δώρησαι ἡμας, Εὐπραξία τοὺς τιμῶντάς σε, ἐπὶ τῇ παρουσίᾳ τῇ φοβερᾷ, τοῦ Ἰησοῦ μου, λυτρωθῆναι τῆς κολάσεως.

Μή με Ἰησοῦ, ἀποῤῥίψῃς ἐκ προσώπου Σου, διὰ τὸ μέγεθος τῶν Σῶν οἰκτιρμῶν, ἀλλὰ δὴ σῶσον, ἱκεσίαις τῆς Ὁσίας Σου.

Νέμεις τοῖς πιστοῖς, τὰς αἰτήσεις πανθαύμαστε, διὸ ἡμῶν δεομένων τὸν Θεόν, σὺν Αὐτὸν ἵλεων, ὑπὲρ ἡμῶν νῦν ἀπέργασαι.

*Θεοτοκίον.*

Ἔμπλησον ἁγνή, εὐφροσύνης την καρδίαν μου, τὴν Σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Νοός μου, τὰς ἐκτροπὰς θεραπεύσας, καὶ καρδίας μου τὰ πάθη Ὁσία, σωματικῶν, ἀλγηδόνων με ῥῦσαι, καὶ ἐπηρείας ἁπάσης καὶ θλίψεως, καὶ δεῖξόν με ταῖς σαῖς λιταῖς, τοῦ ἐχθροῦ τῶν παγίδων ὑπέρτερον.

Ἡγίασε, σὲ ἀσκήσασαν μῆτερ, ὁ πανάγαθος Θεὸς Ὃν δυσώπει, ἁγιασμόν, τοῖς σοῖς δούλοις ἐκπέμψαι, καὶ φωτισμὸν τῶν πταισμάτων τὴν λύτρωσιν, προστάτις γὰρ παρὰ Θεοῦ, ἐχαρίσθης ἡμῖν ἀκαταίσχυντος.

Συνεῖναί με, τὸν πολλά σε ποθοῦντα, Εὐπραξία σοὶ εὐδόκησον μῆτερ, σὲ δυσωπῶ, τὴν καλήν μου προστάτιν, καὶ πίστει κράζω σοι· σῶσόν με πάνσεμνε, γεννήθητί μοι βοηθός, καὶ παντοίας ἀνάγκης με λύτρωσαι.

*Θεοτοκίον.*

Θανάτου, καὶ τῆς φθορᾶς ὃς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν Σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ἐκ θλίψεως, καὶ ἐκ κίνδυνων λύτρωσαι Εὐπραξία, τοὺς τὴν θείαν σου προστασίαν αἰτοῦντας, ὡς ἔχουσα τὴν πρὸς Θεὸν παῤῥησίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα, μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Τοὺς τῇ θείᾳ σκέπῃ σου, προσπεφευγότας, Εὐπραξία φρούρησον, ἀπὸ παντοίων πειρασμῶν, καὶ τὸν Θεὸν ἐξιλέωσαι, Ὁσία μῆτερ, Αὐτὸν ἱκετεύουσα.

Οἱ Ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῆς Ὁσίας Αὐτοῦ.*

Στ.: *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

Εὐαγγέλιον ὁσιακόν.

Δόξα: *Ταῖς τῆς Σῆς Ὁσίας πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.*

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τό ἀνόμημά μου.* Ἦχος πλ. β'.

Τῶν υπὲρ νοῦν ἀγαθῶν δεξαμένη ἔρωτα, πάντα τὰ ἐν κόσμῳ τερπνὰ ὑπερεῖδες θεόληπτε, καὶ ἀγγελικῶς τὸν βίον διήνυσας, καὶ νῦν ἐν οὐρανοῖς αὐλίζῃ Θεὸν ἱλεουμένῃ, ὑπὲρ ἡμῶν τῶν ἐκτελούντων πιστῶς, μῆτερ Εὐπραξία τὴν μνήμην σου.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οἶκός σου ὁ θεῖος ἰατήριον πᾶσιν ἡμῖν γεγέννηται, ἴασις νοσημάτων, κατ' ἄμφω χορηγῶν τοῖς ἐν πίστει προστρέχουσι, καὶ μεγαλύνουσι πιστῶς, Ὁσία τὴν σὴν μνήμην.

Ἐν τῷ φόβῳ Κυρίου σὺ ταπείνωσον μῆτερ τὸ τῆς σαρκός φρόνημα, σκιρτῶν οἷαπερ πῶλος, ἀτάκτως τε βαδίζων, ἐν ἐμοὶ καὶ πρὸς βάραθρον, ζητοῦν κατακρημνῆσαι, τὴν ταπεινὴν ψυχήν μου.

Ψυχικῆς ἀσθενείας καὶ σωμάτων ἐκ νοσου λύτρωσαι Εὐπραξία, πρεσβείᾳ σου τοὺς πάντας, τῷ ναῷ σου ἐκ πόθου προστρέχοντες, καὶ αἰτουμένους σε θερμῶς, ἀντίληψιν τὴν θείαν.

*Θεοτοκίον.*

Τὴν ἡμῶν σωτηρίαν ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατώκησας

τῷ κόσμῳ, Ἢν προστάτις ἀνέδειξας, ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ναῷ τῷ θείῳ, ὁ προστρέχων Εὐπραξίας εὐχέρως, τὰς αἰτήσεις λαμβάνει, εἰ μετ' εὐλαβείας αὐτὴν ἐπικαλεῖται.

Ἡ Εὐπραξία, εἰς οὐρανοὺς ἀπελθοῦσα, καὶ τῷ Θεῷ σὺν Ἀγγέλοις οἰκοῦσα, πάντοτε πρεσβεύει, ὑπὲρ τῆς αὐτῆς ποίμνης.

Δι ἀγῶνας, οὓς ἐν ἀσκήσει διῆλθες, τῷ Χριστῷ ἠνέχθης ὡς θυσία, πίστει διὸ πόθῳ, ὑμνοῦμεν εἰς αἰῶνας.

*Θεοτοκίον.*

Τοὺς βοηθείας, τῆς παρὰ Σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, Σὲ Κόρη εἰς αἰῶνας.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰδεῖν Χριστοῦ τὸ κάλλος, ὄντως τὸ ὡραῖον, καὶ τῆς γλυκείας ἀκτῖνος καὶ αἴγλης Αὐτοῦ, κατατρυφῆσαί με μῆτερ, Ὁσία πρέσβευε.

Ἀσκήσασα γενναίως, δέχεσαι δικαίως, παρὰ Χριστοῦ τὰ βραβεῖα πανθαύμαστε, καὶ σὺν Ἀγγέλων χορείαις νῦν ἐπαγάλλεσαι.

Δεήσου τῷ Κυρίῳ, μῆτερ Ευπραξία, υπὲρ τῶν πίστει τελούντων σὴν μνήμην ἀεί, τοῦ λυτρωθῆναι κινδύνων καὶ περιστάσεων.

*Θεοτοκίον.*

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τοῦ παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα.

*Μεγαλυνάρια.*

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Φωτὶ παρεστῶσα τῷ πατρικῷ, καὶ τῶν λαμπηδόνων πληρουμένη τῶν παρ᾽ αὐτοῦ, μῆτέρ μου Ἁγία, ἐξ ὧν ὦ Εὐπραξία, τὸ σκότος τοῦ νοός μου, σὺ καταλάμπρυνον.

Τῶν μνημονευόντων πράξεων σῶν, καὶ ἐπιτελούντων, μετὰ πόθου μνήμην τὴν σήν, πρέσβευε παρθένε, Χριστὸν τὸν σὸν Νυμφίον, σύν σοι καταξιῶσαι, τῆς βασιλείας Του.

Ποίμνην τὴν τιμῶσάν σε εὐσεβῶς, Εὐπραξία μῆτερ, διατήρησον ἀσινῆ, ἐκ παντοίας βλάβης, αὐτῇ ἐπερχομένης, ταῖς πρὸς Θεὸν ἀλήκτοις σου παρακλήσεσιν.

Ἰησοῦ Χριστέ μου Λόγε Θεοῦ, Υἱὲ Πατρὸς ζῶντος, ἱκεσίαις τῆς Σῆς Μητρός, σὺν τῆς Εὐπραξίας, καὶ Ὁσίων ἁπάντων, ἡμᾶς ἔργασαι οἴκους, τοῦ Παρακλήτου Σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τρισάγιον.*

*Ἀπολυτίκιον. Τῆς Ὁσίας Ἦχος δ'. Ταχὺ προκατάλαβε*

Ἐκ βρέφους ποθήσασα τὸν σὸν Νυμφίον Χριστόν, τὸν κόσμον κατέλιπες, καὶ τα τοῦ κόσμου τερπνά, καὶ ἤσκησας ἄριστα, ἄϋλον γὰρ ἐν ὕλῃ, ἐπιδείξασα βίον, εἴληφας Εὐπραξία, οὐρανῶν βασιλειαν, ἐν ᾗ νῦν αὐλιζομένη, μνήσθητι τῶν τιμώντων σε.

*Εἶτα ὁ Ἱερεύς τήν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν Κύριε ἐλέησον. Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τῆς Ὁσίας καί χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Χάριν, εἰληφυῖα ἐκ Θεοῦ, πᾶσι χορηγεῖς τὰς ἰάσεις, ὑπὸ τὴν σκέπην σου, μῆτερ πανσεβάσμιε, τοῖς σὲ προστρέχουσι, φυγαδεύεις δαιμόνων γάρ, ἀνίατα πάθη, πάντας θεραπεύεις δέ, τῇ προστασίᾳ σου, ὅθεν, Εὐπραξία βοῶμεν· πρέσβευε πρὸς Κύριον πάσης, λυτρωθῆναι βλάβης τοὺς ὑμνοῦντάς σε.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.*